[illegible]

ιβ Ἐν τοῖς ἀμβλυγωνίοις τριγώνοις. τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν
γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον. μεῖζόν ἐστι
τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευ-
ρῶν τετραγώνων. τῶι περιεχομένωι δὶς ὑπό τε μιᾶς
τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πί-
πτει· καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέ-
του πρὸς τῆι ἀμβλείαι γωνίαι. ἔστω ἀμβλυγώνιον τρί-
γωνον τὸ ΑΒΓ. ἀμβλεῖαν ἔχον τὴν ὑπὸ ΒΑΓ. καὶ ἤχθω ἀ-
πὸ τοῦ Β σημείου ἐπὶ τὴν ΓΑ ἐκβληθεῖσαν κάθετος ἡ ΒΔ.
λέγω ὅτι τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον. μεῖζόν ἐστι τῶν ἀ-
πὸ τῶν ΒΑ ΑΓ τετραγώνων, τῶι δὶς ὑπὸ ΓΑ ΑΔ περιεχο-
μένωι ὀρθογωνίωι· ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΔ τέτμηται ὡς
ἔτυχεν κατὰ τὸ Α σημεῖον· τὸ ἄρα ἀπὸ τῆς ΔΓ ἴσον ἐστὶ
τοῖς ἀπὸ τῶν ΓΑ ΑΔ τετραγώνοις καὶ τῶι δὶς ὑπὸ τῶν
ΓΑ ΑΔ περιεχομένωι ὀρθογ[illegible] προσκεί-
σθω τὸ ἀπὸ τῆς ΔΒ· τὰ ἄρα ἀπὸ [illegible] ἴσα ἐστὶ
τοῖς τε ἀπὸ τῶν ΓΑ ΑΔ ΔΒ καὶ τῶι δὶς ὑπὸ τῶν ΓΑ ΑΔ πε-
ριεχομένωι ὀρθογωνίωι· ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΓΔ
ΔΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΒ· ὀρθὴ γὰρ ἡ πρὸς τῶι Δ γω-
νία· τοῖς δὲ ἀπὸ τῶν
ΑΔ ΔΒ ἴσον τὸ ἀπὸ τῆς
ΑΒ· τὸ ἄρα ἀπὸ τῆς ΓΒ
τετράγωνον ἴσον ἐστὶ τοῖς
τε ἀπὸ τῶν ΓΑ ΑΒ τετρα-
γώνοις καὶ τῶι δὶς ὑπὸ
τῶν ΓΑ ΑΔ περιεχομέ-

τοῦ ιβ΄ τοῦ πρώτ.





νωι ὀρθογωνίωι· ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετράγωνον. τῶν
ἀπὸ τῶν ΓΑ ΑΒ τετραγώνων μεῖζόν ἐστιν. τῶι δὶς ὑπὸ τῶν
ΓΑ ΑΔ περιεχομένωι ὀρθογωνίωι. ἐν ἄρα τοῖς ἀμβλυ-
γωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνί-
αν ὑποτεινούσης πλευρᾶς τετράγωνον. μεῖζόν ἐστι τῶν
ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν
τετραγώνων. τῶι περιεχομένωι δὶς ὑπό τε μιᾶς τῶν
περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει. καὶ
τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς
τῆι ἀμβλείαι γωνίαι. ὅπερ ἔδει δεῖξαι:

ιγ Ἐν τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν
γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον. ἔλατ-
τόν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν
πλευρῶν τετραγώνων, τῶι περιεχομένωι δὶς ὑπό τε
μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος
πίπτει. καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς κα-
θέτου πρὸς τῆι ὀξείαι γωνίαι. ἔστω ὀξυγώνιον τρίγω-
νον τὸ ΑΒΓ. ὀξεῖαν ἔχον τὴν πρὸς τῶι Β γωνίαν. καὶ
ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ.
λέγω ὅτι τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον. ἔλαττόν ἐστι τῶν
ἀπὸ ΓΒ ΒΑ τετραγώνων. τῶι δὶς ὑπὸ τῶν ΓΒ ΒΔ περι-
εχομένωι ὀρθογωνίωι. ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΒ τέτμη-
ται ὡς ἔτυχεν κατὰ τὸ Δ. τὰ ἄρα ἀπὸ τῶν ΓΒ ΒΔ τε-
τράγωνα, ἴσα ἐστὶ τῶι τε δὶς ὑπὸ τῶν ΓΒ ΒΔ περι-
εχομένωι ὀρθογωνίωι, καὶ τῶι ἀπὸ τῆς ΔΓ τετραγώ-
νωι. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔΑ τετράγωνον·